**287** Schol. *BE[4] Hom. *Il.* 21. 237 (Porphyrius?) *Ἀρχίλοχος μὲν οὐκ ἐτόλμησεν Ἀχελῷον ὡς ποταμὸν Ἡρακλεῖ συμβαλεῖν, ἀλλ' ὡς ταῦρον.*

**288** Schol. Ap. Rhod. 1. 1212 - 19a *φεύγων οὖν τὸν φόνον* (Hercules) *καὶ σὺν τῇ γαμετῇ* (Deianira) *στελλόμενος ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον Κένταυρον, ὡς καὶ Ἀρχίλοχος ἱστορεῖ.*

**290** Ath. (epit.) 30f *Ἀρχίλοχος τὸν Νάξιον* (*οἶνον*) *τῷ νέκταρι παραβάλλει.*

**291** Harpocr. p. 281. 4 Dindorf *μνημονεύει τῶν Θασίων πρὸς Μαρωνείτας περὶ τῆς Στρύμης ἀμφισβητήσεως Φιλόχορος ἐν ε'* (328 F 43), *Ἀρχίλοχον ἐπαγόμενος μάρτυρα.*

**292** Plut. *Marius* 21 *τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ,... οὕτως ἐκλιπανθῆναι... ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι πιαίνεσθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας.*

**293** Ath. 167d *τοιοῦτος ἐγένετο καὶ Αἰθίοψ ὁ Κορίνθιος, ὥς φησι Δημήτριος ὁ Σκήψιος* (fr. 73 Gaede)· *οὗ μνημονεύει Ἀρχίλοχος. ὑπὸ φιληδονίας γὰρ καὶ ἀκρασίας καὶ οὗτος, μετ' Ἀρχίου πλέων εἰς Σικελίαν ὅτε ἔμελλε κτίζειν Συρακούσας, τῷ ἑαυτοῦ συσσίτῳ μελιτούττης ἀπέδοτο τὸν κλῆρον ὃν ἐν Συρακούσαις λαχὼν ἔμελλεν ἕξειν.*

**294** Euseb. *praep. ev.* 5. 33. 5 ex Oenomao Gadar. *τί πράττειν κελεύεις ἡμᾶς; ἢ δηλαδὴ τὰ Ἀρχιλόχου... λοιδορῆσαι μὲν πικρῶς τὰς οὐκ ἐθελούσας ἡμῖν γαμεῖσθαι, ἅ ψ α σ θ α ι δὲ κ α ὶ τ ῶ ν κ ι ν α ί δ ω ν ...* (13) *εἰσὶ καὶ νῦν ἕτοιμοι κω-*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/82 UNIVERSITÄT LEIPZIG